# 09 NOIEMBRIE
# EGKOMIA
# SF.IERARH
# NECTARIE DE LA EGHINA, AL PENTAPOLISULUI

ΕΓΚΩΜΙΑ
ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΝΕΚΤΑΡΙΟΝ
ΕΠΙΣΚΟΠΟΝ ΠΕΝΤΑΠΟΛΕΩΣ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

ΣΤΑΣΙΣ Α'.

Ἦχος πλ. α'. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ,
Ἐκκλησίας τὸ νεόδμητον στήριγμα,
ὦ Νεκτάριε, θαυμάτων ἡ πηγή.

Μακαρίζομέν σε τὸν ἐσχάτοις καιροῖς
ἀναβλύσαντα τὸ νέκταρ τῆς χάριτος
τὸ εὐφραῖνον, ὦ Νεκτάριε, πιστούς.

Καὶ τὰ ἑπόμενα ἔχοντα τήνδε ἀκροστιχίδα·
«Δέχου Νεκτάριε τάδε μέλη. Γερασίμου».

Δεῦτε πάντες ὕμνοις οἱ χοροὶ τῶν πιστῶν
εὐφημήσωμεν τὸν μέγαν Νεκτάριον,
τὸν ἀρτίως ἀναλάμψαντα ἡμῖν.

Ἐπὶ γῆς ὁσίως, βιοτεύσας, σοφέ,
τῶν Ἁγίων ἀνεδείχθης ἰσότιμος
καὶ θαυμάτων ἐδοξάσθης δωρεᾷ.

Χαλεπῶν κινδύνων καὶ δεινῶν συμφορῶν
ἐκλυτροῦσαι, Ἱεράρχα Νεκτάριε,
τοὺς προστρέχοντας τῇ σκέπῃ σου θερμῶς.

Οὐρανόθεν ἴδε, ὡς πατὴρ συμπαθής,
καὶ τοῖς τέκνοις σου παράσχου, Νεκτάριε,
τῆς σῆς χάριτος τὰς θείας δωρεάς.

Ὑψηλὸς τῷ βίῳ, ταπεινὸς δὲ τῷ νῷ,
ἀνεδείχθης, Ἱεράρχα Νεκτάριε·
διὰ τοῦτο ἐδοξάσθης θαυμαστῶς.

Νέον ἄστρον ὤφθης Ἐκκλησίας Χριστοῦ
σελαγίζον οἰκουμένης τὰ πέρατα,
ὢ Νεκτάριε, θαυμάτων ἀστραπαῖς.

Ἐν Αἰγίνῃ, Πάτερ, διαπρέψας σοφῶς,
ἐν τοῖς πέρασιν ἐκλάμπεις τοῖς θαύμασι,
διασῴζων τοὺς καλοῦντάς σε πιστῶς.

Καθαρθείς, θεόφρον, δι' ἐνθέου ζωῆς,
ἀληθὴς ἀρχιερεὺς ἐχρημάτισας
καὶ Ἁγίων, κοινωνὸς, περιφανής.

Τῶν θαυμάτων ῥεῖθρα ἀναβλύζων ἀεὶ
κατακλύζεις, Ἱεράρχα Νεκτάριε,
βορβορώδεις ἐπιχύσεις τῶν παθῶν.

Ἀπὸ γῆς περάτων ἕως ἄκρου τῆς γῆς
τῶν θαυμάτων σου ἡ δύναμις ἔφθασε,
διασῴζουσα πιστοὺς πάσης ὀργῆς.

Ῥῶσιν πᾶσι βλύζει ὁ σὸς θεῖος ναὸς
καὶ πηγάζει, Ἱεράρχα Νεκτάριε,
νέκταρ θεῖον γλυκασμοῦ τοῦ θεϊκοῦ.

Ἰατρεύεις πάθη χαλεπὰ θαυμαστῶς
καὶ καρκίνου ἀπαλλάττεις, Νεκτάριε,

τοὺς προστρέχοντας τῇ σκέπῃ σου πιστῶς.

Ἐν ἐσχάτοις χρόνοις ὡς ἀστὴρ φαεινὸς
ἀνατέταλκας, Νεκτάριε Ὅσιε,
καὶ σκεδάζεις τῶν παθῶν τὸν σκοτασμόν.

Τὴν σεπτήν σου Κάραν προσκυνοῦντες πιστῶς,
οὐρανίου εὐωδίας πληρούμεθα
ἀνυμνοῦντές σε, Νεκτάριε σοφέ.

Ἀρετῶν ἐκφάντωρ πρακτικὸς γεγονώς,
ἀπαθείας ἀπαυγάζεις τὰς χάριτας
καὶ εὐφραίνεις τὰς καρδίας τῶν πιστῶν.

Δεδεγμένος χάριν ἐκ Θεοῦ δαψιλῆ,
ἀπελαύνεις τὰ ἀκάθαρτα πνεύματα
καὶ ἰᾶσαι ἀσθενείας χαλεπάς.

Ἐκ τῆς σῆς πηγάζει παναγίας σοροῦ
Παρακλήτου δωρεὰ ζωοδώρητος,
ὦ Νεκτάριε, ὡς νέκταρ  μυστικόν.

Μὴ ἐλλίπῃς, Πάτερ, προστατεύειν ἀεὶ
τῶν φοιτώντων τῷ ἁγίῳ τεμένει σου
καὶ ζητούντων τὴν θερμήν σου ἀρωγήν.

Ἐκκλησίας ὤφθης ᾿Ορθοδόξου φωστὴρ
ἐν ἐσχάταις ταῖς ἡμέραις, Νεκτάριε,
διαλύων τῆς ἀπάτης τὴν ἀχλύν.

Λαμπρυνθεὶς ἀκτῖσιν ἐναρέτου ζωῆς,
οἰκονόμος μυστηρίων τοῦ Πνεύματος
ἀνεδείχθης, ὦ Νεκτάριε σοφέ.

Ἡ σὴ χάρις, Πάτερ, διασῴζει πιστούς,
πανταχοῦ γὰρ καταφθάνεις, Νεκτάριε,
καὶ λυτροῦσαι ἐκ κινδύνων χαλεπῶν.

Γνώσει θείᾳ Πάτερ, καὶ σοφίᾳ πολλῇ
καὶ ἐν ἔργοις ἀληθοῦς ταπεινώσεως,
τὴν ἁγίαν σου ἐκόσμησας ζωήν.

Ἐξ ῾Ελλάδος πάσης τῇ σεπτῇ σου Μονῇ
προσιόντες οἱ  πιστοὶ θεραπεύονται
νοσημάτων, ῾Ιεράρχα, χαλεπῶν.

Ῥῦσαι πάσης βλάβης καὶ δεινῶν συμφορῶν
καὶ κινδύνων, θεοφόρε Νεκτάριε,
τοὺς προστρέχοντας τῷ θείῳ σου ναῷ.

Ἀπαθείας ὤφθης πανευώδης λειμὼν
καὶ πιστοὺς ἀρωματίζεις, Νεκτάριε,
ἐν τοῖς ἄνθεσι, τῶν θείων ἀρετῶν.

Σὲ θερμὸν προστάτην Ὀρθοδόξων πληθὺς,
κεκτημένη, θεοφόρε Νεκτάριε,
ἐκλύτρούμεθα παντοίων πειρασμῶν.

Ἱλασμὸν ἐξαίτει τοῖς φοιτῶσι θερμῶς
τῷ ναῷ σου τῷ ἁγίῳ, Νεκτάριε,
καὶ ὑγείαν κατὰ σῶμα καὶ ψυχήν.

Μέγας ὤφθης ῥύστης ἐκ ποικίλων δεινῶν,
ἐξαιρούμενος ταχέως, Νεκτάριε,
τοὺς φωνοῦντάς σου τὴν κλῆσιν τὴν σεπτήν.

Οἱ ποικίλαις νόσοις συσχεθέντες πικρῶς,
Νεκταρίου τῷ τεμένει προσέλθετε,
ἵνα λάβητε τὴν ἴασιν ταχύ.

Δόξα.   Τριαδικόν.

Ὑπερθέου, Πάτερ, τὰς  ἐλλάμψεις ἀεὶ
Τρισηλίου δεδεγμένος Θεότητος,
ἐξαφάνισον ἡμῶν τοὺς πειρασμούς.

Καὶ νῦν. Θεοτοκίον.

Ὑψηλὴ καθέδρα τοῦ  τῶν ὅλων Θεοῦ,
Θεοτόκε Μαριὰμ Παντευλόγητε,
σκέπε πάντας τοὺς ὑμνοῦντάς σε πιστῶς.

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ,
Ἐκκλησίας τὸ νεόδμητον στήριγμα,
ὦ Νεκτάριε, θαυμάτων ἡ πηγή.

## ΣΤΑΣΙΣ Β'.

Ἦχος πλ. α', Ἄξιόν ἐστι.

Ἄξιόν ἐστι, μακαρίζειν σε τὸν Ἱεράρχην,
τὸν ἐσχάτοις χρόνοις ἐκλάμψαντα
καὶ δοξάσαντα, Νεκτάριε, Χριστόν.

Ἅπαντες πιστοί, μακαρίσωμεν τὸν Ἱεράρχην,
τὸν ἀρτίως κόσμῳ πηγάσαντα,
νέκταρ θεῖον φερωνύμως ἀρετῶν.

Καὶ τὰ ἑπόμενα ὧν ἡ ἀκροστιχίς·
«Σὺ εἶ, ὦ Νεκτάριε, ἡμῶν τὸ κλέος. Γερασίμου».

Σύνεσιν πολλήν, ἐκ παιδὸς ἔδειξας ὄντως, Πάτερ,
καὶ ἀμέμπτῳ βίῳ διέπρεψας
ἐν ἡμέραις πονηραῖς φόβῳ Θεοῦ.

Ὕψωσας τὸν νοῦν, πρὸς Θεὸν ἐνθέῳ πόθῳ, Πάτερ,
καὶ ἐχθροῦ καθεῖλες τὸ φρόνημα
καὶ ἐπλήσθης οὐρανίων δωρεῶν.

Ἔχει σε θερμόν, ἀντιλήπτορα Αἴγινα, Πάτερ,
Ἐκκλησία δὲ ἡ Ὀρθόδοξος

ἀρωγὸν καὶ βοηθὸν νεοφανῆ.

Ἴαμα ἀεὶ, ἀναβλύζουσι Πνεύματι θείῳ
τὰ σεπτά σου λείψανα, Ὅσιε,
τοῖς προστρέχουσιν αὐτοῖς ἀπὸ ψυχῆς.

Ὤφθης στηριγμός, νεοδόμητος ὑστέροις χρόνοις
τοῖς κλονιζομένοις, Νεκτάριε,
δοξασθεὶς παρὰ Θεοῦ περιφανῶς.

Νόσους χαλεπάς, θεραπεύεις καὶ καρκίνου πάθος,
Πάτερ Ἱεράρχα Νεκτάριε,
ἐξιᾶσαι ἐν ἰσχύϊ θεϊκῇ.

Ἔλαμψας ἡμῖν, ὡς νεόφωτος ἥλιος, Πάτερ,
καὶ καταπυρσεύεις τὰ πέρατα,
τῶν πολλῶν σου θαυμασίων τῷ φωτί.

Κλέος ἱερὸν, Ὀρθοδόξων ἀνεδείχθης, Πάτερ,
καὶ δοκησισόφων κατῄσχυνας
τὰ φρυάγματα τοῖς θαύμασι τοῖς σοῖς.

Τοῖς τῷ σῷ ναῷ, καταφεύγουσι πίστει τελείᾳ,
δίδου τὰ αἰτήματα, Ἅγιε,
οἷα πλήρης συμπαθείας θεϊκῆς.

Ἅπασα Ἑλλάς, τῶν πολλῶν ἐπλήσθη σου θαυμάτων·
ἔνθεν πᾶσα γλῶσσα, Νεκτάριε,
τὴν θερμὴν κηρύττει σου ἀρωγήν.

Ῥείθροις διδαχῶν, πᾶσαν ἤρδευσας πιστῶν καρδίαν·
νῦν δὲ τῶν θαυμάτων τοῖς ῥεύμασι
τῶν παθῶν κατασβεννύεις τὴν πυράν.

Ἴδε συμπαθῶς, τοὺς τῇ σῇ Εἰκόνι παρεστῶτας
καὶ παράσχου τούτοις, Νεκτάριε,
τὰς αἰτήσεις ὡς φιλόστοργος πατήρ.

Ἔργοις ἱεροῖς, τὸν Θεὸν δοξάσας, θεῖε Πάτερ,
παρ' αὐτοῦ λαμπρῶς τεθαυμάστωσαι
ἐν δυνάμεσι θαυμάτων πολλαπλῶν.

Ἤμβλυνας ἐχθροῦ, τὰς ἐπάρσεις τῇ σῇ ταπεινώσει
καὶ Θεῷ ὑψώθης, Νεκτάριε,
ὡς ἐργάτης τῶν ὁσίων ἀρετῶν.

Μέγας ἀρωγὸς, ᾿Εκκλησίας ὤφθης, ῾Ιεράρχα,
ὅθεν πᾶς προστρέχων, τῃ σκέπῃ σου
τῶν χαρίτων σου τρυγᾷ τὰς δωρεάς.

Ὤκησεν ἐν σοί, καθαρθέντι τὴν καρδίαν, Πάτερ,
ἡ Τριὰς καθὰ ἐπηγγείλατο,
καὶ ἀΰλου σε ἐνέπλησε φωτός.

Νύκτα τῶν παθῶν, διαλύεις τῇ σῇ ἐπιλάμψει
καὶ παρεχεις πᾶσι, Νεκταριε,
εὐφροσύνην καὶ χαρὰν τὴν θεϊκήν.

Τέτρωται ἐχθρός, τῇ πολλῇ σου ταπεινώσει, Πάτερ,
καὶ ἐν σοὶ δεδόξασται Κύριος
διὰ τοῦτο ἐδοξάσθης θαυμαστῶς.

Ὄμβρησον ἡμῖν, τῇ σῇ ἄνωθεν ἐπισκιάσει,
ῥῶσιν καὶ ὑγείαν καὶ ἔλεος
καὶ εἰρήνην, ὦ Νεκτάριε, πολλήν.

Κήρυκες τῶν σῶν, θαυμασίων πέλουσι, παμμάκαρ,
πανταχοῦ, Νεκτάριε ὅσιε,
οἱ τυχόντες τῶν πολλῶν σου δωρεῶν.

Λύτρωσαι ἡμᾶς, τῇ θερμῇ ἐπισκοπῇ σου, Πάτερ,
τοὺς τῷ σῷ ναῷ καταφεύγοντας
καὶ τελοῦντάς σου τὴν μνήμην εὐλαβῶς.

Ἔδραμε σοφέ, εἰς τὰ πέρατα τῆς γῆς ἁπάσης
ἡ τῶν σῶν θαυμάτων ἐνέργεια,

καὶ οἱ πάντες τῷ σῷ σπεύδουσι ναῷ.

Ὅρμημα δεινόν, καθ' ἡμῶν τοῦ βροτοκτόνου παῦσον
καὶ πταισμάτων αἴτει συγχώρησιν
τοῖς τιμῶσί σε, Νεκτάριε, πιστῶς.

Στόμα πᾶν πιστῶν, τὸ σὸν ὄνομα φωνεῖ, παμμάκαρ,
καὶ θερμὸν εὑρίσκει προστάτην σε
ὁ τὴν σὴν ἐπικουρίαν ἐκζητῶν.

Γνώμῃ ταπεινῇ, καὶ ἐν ἀκακίᾳ θεοφόρε,
τὴν ζωὴν ἀνύσας, Νεκτάριε,
οὐρανίων ἠξιώθης δωρεῶν.

Ἔκχεον ἡμῖν, τὰς τῆς Πατρικῆς σου εὐλογίας,
δωρεὰς καὶ  χάριτας  ἅπασι,
τοῖς τιμῶσί σε, Νεκτάριε, πιστῶς.

Ῥᾶνον μυστικῶς, ἅγιε Νεκτάριε  παμμάκαρ,
ταῖς ψυχαῖς ἡμῶν τῶν τιμώντων σε,
νέκταρ εὐφροσύνης θεϊκῆς.

Ἅπας ἀσθενής, προσιὼν τῷ ἱερῷ ναῷ σου
ἴασιν λαμβάνει ταχύτατα,
τῇ σῇ, ῾Ιεράρχα, ἀρωγῇ.

Σύντριμμα ψυχῶν, καὶ σωμάτων ἴασαι τοὺς πόνους
ἡμῶν, ῾Ιεράρχα Νεκτάριε,
λύων τοῦ ἐχθροῦ τὰς προσβολάς.

Ἴθυνον ἡμᾶς, τῇ σῇ ἀοράτῳ ὁδηγίᾳ
ὡς ποιμὴν ἡμῶν ἐνθεώτατος,
Πάτερ, πρὸς τὰς τρίβους τῆς ζωῆς.

Μύστης ἀληθής, τοῦ Εὐαγγελίου ὤφθης, Πάτερ·
ὅθεν τὴν ἀγάπην τὴν κρείττονα
μυσταγώγησον ἡμᾶς τοὺς σοὺς υἱούς.

Δόξα. Τριαδικόν.

Ὅλῳ τῶ φωτί, λαμπρυνομενος τῷ της Τριάδος,
τῆς μιᾶς Θεότητος, Ἅγιε,
ῥύου πάσης ἀμαυρώσεως ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Ὕψωσον ἡμῶν, τῆς ψυχῆς τὴν ἔφεσιν, Παρθένε,
κάλλος ἐφιέναι τὸ ἄχραντον
τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν Ἁγνή.

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον·

Ἄξιόν ἐστι μακαρίζειν σε τὸν Ἱεράρχην,
τὸν ἐσχάτοις χρόνοις ἐκλάμψαντα
καὶ δοξάσαντα, Νεκτάριε, Χριστόν.

ΣΤΑΣΙΣ Γ'.

Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε,
Νεκτάριε θεόφρον.

Δεῦτε θείοις ὕμνοις τιμήσωμεν προφρόνως
Νεκτάριον τὸν μέγαν.

Καὶ τὰ ἑξῆς ὧν ἡ ἀκροστιχίς·
«Δῶρά σοι θεῖα φέρομεν, Πάτερ. Γερασίμου».

Δόξης οὐρανίου ἐδέξω ἐν καρδία,
Νεκτάριε, τὴν γνῶσιν.

Ὤφθης θεοφόρος καὶ περιὼν τῷ βίῳ,
ἀμέμπτῳ πολιτείᾳ.

Ῥάβδῳ τῶν εὐχῶν σου τὴν καθ' ἡμῶν μανίαν
σύντριψον τοῦ Βελίαρ.

Ἄνωθεν ἐπόμβρει, ὡς δρόσον οὐρανίαν,
τὴν πατρικήν σου χάριν.

Σῷζε πάσης βλάβης τους σὲ φωνοῦντας, Πάτερ,
προφθάνων οὐρανόθεν.

Ὅλος θεοφόρος, Νεκτάριε, ἐδείχθης
ἀγγελικῶς βιώσας.

Ἴαμα πηγάζει σορός σου ἡ ἁγία
τοῖς πόθῳ προσιοῦσι.

Θαύμασι ποικίλοις πλουσίως ἐδοξάσθης,
οἷα Θεοῦ θεράπων.

Ἔχει ᾿Εκκλησία ἡ τοῦ Χριστοῦ σε, Πάτερ,
νέον λαμπρὸν φωστῆρα.

Ἴθυνον Κυρίῳ, Νεκτάριε παμμάκαρ,
ἡμᾶς τοὺς σὲ τιμῶντας.

Ἅπαντας προφθάνεις καὶ τῶν δεινῶν ἐξαίρεις
τοὺς σὲ θερμῶς καλοῦντας.

Φλέγουσι δαιμόνων τὰ λείψανά σου, Πάτερ,
τὴν καθ' ἡμῶν μανίαν.

Ἔλεος κοιὶ χάριν, Νεκτάριε, ἐξαίτει
τοῖς σὲ παρακαλοῦσι.

Ῥῶσιν δίδου, Πάτερ, τοῖς πίστει προσιοῦσι
τῷ ἱερῷ ναῷ σου.

Ὄμβρησον, θεόφρον, τὸ νέκταρ τῆς ἀγάπης
πιστῶν εἰς σωτηρίαν.

Μνήμην σου τὴν θείαν, Νεκτάριε, τελοῦντες
ὑμνοῦμέν σου τὴν χάριν.

Ἔλαμψας ἀρτίως ὡς νέος ἑωσφόρος
Χριστοῦ τῇ ᾿Εκκλησίᾳ.

Νόσους  ἀνιάτους, Νεκτάριε, ἴᾶσαι
δυνάμει θεοσδότῳ.

Πᾶσα ᾿Εκκλησία Χριστοῦ σε μακαρίζει
νεόφωτον ὡς ἄστρον.

Ἄφθονον παρέχεις τῆς ἀντιλήψεώς σου,
Νεκτάριε, τὴν χάριν.

Τῶν θείων σου θαυμάτων ὁ φθόγγος, ῾Ιεράρχα,
εἰς πᾶσαν γῆν ἐξῆλθεν.

Ἐλαίῳ συμπαθείας ἡμῶν καθιλαρύνεις,
Νεκτάριε, τοὺς πόνους.

Ῥύου, θεηγόρε, κινδύνων πολυτρόπων
ἡμᾶς τοὺς σοὺς ἱκέτας.

Γέγονας, θεόφρον, τῶν κλονουμένων βάσις
πολλοῖς σου θαυμασίοις.

Ἔθυσας Κυρίῳ τὴν καθαρὰν ζωήν σου
εὐπρόσδεκτον ὡς θῦμα.

Ῥέει ἀκενώτως ἐκ τῆς σοροῦ σου, Πάτερ,
ἰάσεων πλημμύρα.

Ἄκουσον, παμμάκαρ, φωνῆς τῶν ἱκετῶν σου
παύων ἡμῶν τὸν πόνον.

Σκέπε, ῾Ιεράρχα, θερμῇ ἐπισκοπῇ σου
τοὺς σὲ προστάτην σχόντας.

Ἴασαι τὰς νόσους ψυχῶν τε καὶ σωμάτων
τῶν σὲ παρακαλούντων.

Μέγας ἀνεδείχθης, θαυμάτων ἐνεργείαις,
ἐν τοῖς ἐσχάτοις χρόνοις,

Δόξα. Τριαδικόν.

Ὅλην ὑπεδέξω τὴν αἴγλην τῆς Τριάδος,
Νεκτάριε τρισμάκαρ.

Καὶ νῦν. Θεοτοκίον.

Ὕμνοις, Θεοτόκε, τὴν σὴν ἀεὶ ὑμνοῦμεν
πρὸς ἡμᾶς προστασίαν.

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον·

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε,
Νεκτάριε θεόφρον.

Δίστιχον.
Νέκταρ νοητὸν Νεκτάριε παράσχου
Γερασίμῳ πλέξαντι τάδε σοι μέλη.